**δόχμιος (δοχμικός, δοχμιακός, δοχμαικός) /**
**dochmius (dochmios, dochmiacum)**

*metrum idest syzygia (rhythmicorum more)*

**1.** Arist. Qvint. *de mus.* I 17 (p. 37. 13 sqq. Winnington-Ingram) μιγνυμένων δὴ τῶν γενῶν τούτων εἴδη ῥυθμῶν γίνεται πλείονα· δύο μὲν δοχμιακά, ὧν τὸ μὲν συντίθεται ἐξ ἰάμβου καὶ παίωνος διαγυίου, τὸ δὲ δεύτερον ἐξ ἰάμβου καὶ δακτύλου καὶ παίωνος· εὐφυέστεραι γὰρ αἱ μίξεις αὗται κατεφάνησαν (δόχμιοι δὲ ἐκαλοῦντο διὰ τὸ ποικίλον καὶ ἀνόμοιον καὶ μὴ κατ᾽ εὐθὺ θεωρεῖσθαι τῆς ῥυθμοποιίας).

Choerob. 219. 13 sqq. ἐπίτριτος πρῶτος <ἢ> ἵππειος πρῶτος ἢ καὶ καρικὸς ἢ καὶ δόχμιος, ἐκ βραχείας καὶ τριῶν μακρῶν, ἑπτάχρονος. ἰστέον δ᾽ ὅτι τοὐναντίον τοῦ παιῶνος ἐνταῦθα ἡ βραχεῖα μετέρχεται. — ἐπίτριτος δεύτερος ἢ ἵππειος δεύτερος ἢ δόχμιος δεύτερος, ὁ καὶ καρικός, ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, ἑπτάχρονος.

Choerob. 239. 8 sqq. ʽπενθημιμερές (*scil.* ἀντισπαστικόν), τὸ καλούμενον δοχμιακόν, οἷον·

κλύειν μαίεται
τὸν ἐγχώριον.

τοῦτο κατὰ πόδα μετρεῖται· δύο γάρ εἰσι κῶλα, ἵνα σύγκειται ἀπὸ ἀντισπάστου καὶ πυρριχίου [ἤγουν συλλαβῆς μακρᾶς διαλυθείσης εἰς δύο βραχείας]. ἰστέον γάρ, ὅτι τὸ δοχμιακὸν σύγκειται ἐξ ἀντισπάστου καὶ συλλαβῆς, ὡς πρὸς τὸν μετρικὸν χαρακτῆρα. οἱ μέντοι ῥυθμικοὶ τὸ πᾶν μέτρον ὡς μίαν συζυγίαν λαμβάνοντες δοχμιακὸν ὀνομάζουσι διὰ τὴν τοιαύτην αἰτίαν. οἱ προειρημένοι ῥυθμοί, ἴαμβος παίων ἐπίτριτος, ὀρθοὶ καλοῦνται· ἐν ἰσότητι γὰρ κεῖνται, καθὸ ἕκαστος τῶν ἀριθμῶν μονάδι πλεονεκτεῖται· ἢ γὰρ μονάς ἐστι πρὸς δυάδα ἢ δυὰς πρὸς τριάδα ἢ τριὰς πρὸς τετράδα· [τουτέστι μακρὸς χρόνος πρὸς βραχείας, ὡς ἐν τῷ δακτύλῳ τυχόν, μονὰς πρὸς δυάδα.] ἐν δὲ τῷ δοχμίῳ [ἐπίτριτός ἐστι καὶ συλλαβή] εὑρίσκεται ἡ διαίρεσις τριὰς πρὸς πεντάδα, οὐκέτι ὀρθή. οὗτος οὖν ὁ ῥυθμὸς οὐκ ἠδύνατο ὀρθὸς καλεῖσθαι, ἐπεὶ δυάδι πλεονεκτεῖται. ἐκλήθη οὖν δόχμιος, ἐν ᾧ τὸ τῆς ἀνισότητος μεῖζον ἢ κατὰ τὴν εὐθεῖαν κρίνεται. ἐνταῦθα οὖν δόχμιον ῥυθμόν φησιν ἴαμβον καὶ παιῶνα πρῶτον, τουτέστιν ἐκ βραχείας καὶ μακρᾶς καὶ μακρᾶς καὶ τριῶν βραχειῶν· τινὲς γὰρ οὕτω μετροῦσι. καὶ ἔστιν ἡ ται συλλαβὴ εἰς δύο βραχείας λογιζομένη τοῦ παιῶνος, ἵνα τὸ μαίεται πρῶτος παίων ᾖ. τὸ δὲ τέλος τῆς δευτέρας χρήσεως ἀντὶ μακρᾶς ἔχει τὸ τέλος λυόμενον εἰς δύο βραχείας καὶ ποιεῖ πάλιν παιωνικόν.

Bacch. 314. 20 sqq. πόσοι οὖν εἰσι ῥυθμοί; — δέκα. — τίνες οὗτοι; — ἡγεμὼν ἴαμβος χορεῖος ἀνάπαιστος ὄρθιος σπονδεῖος παιὰν βακχεῖος δόχμιος ἐνόπλιος. —τούτων ἁπλοῖ πόσοι; — ἕξ· ἡγεμὼν ἴαμβος χορεῖος ἀνάπαιστος ὄρθιος σπονδεῖος. — συμπεπλεγμένοι δὲ πόσοι; — τέσσαρες· παιάν, βακχεῖος, δόχμιος, ἐνόπλιος.

Bacch. 316. 3 sqq. ἔνατος δὲ δόχμιος ἐξ ἰάμβου καὶ ἀναπαίστου καὶ παιᾶνος τοῦ κατὰ βάσιν, οἷον·

ἔμενεν ἐκ Τροίας χρόνον.

Etym. Magn. 285. 18 sqq. δοχμή [...] ἢ παρὰ τὸ δοχμός· ἐπειδὴ πλαγίᾳ τῇ χειρὶ μετροῦμεν. ἔστιν οὖν μέτρον τί. <ἐξ οὗ παράγωγον τὸ δόχμιος ὁ πλάγιος *add. V*>.

Anon. Ambr. 229. 20 sqq. ὁ μὲν πρῶτος (*scil.* ἐπίτριτος) καλεῖται ἵππιος πρῶτος ἢ καρικὸς ἢ δόχμιος· ὁ δὲ δεύτερος ἵππιος δεύτερος ἢ ῥοδιακὸς <ἢ> δόχμιος ἢ κάριος ἢ τροχαικὸς ἑπτάσημος.

Anon. Ambr. 233. 21 sq. δόχμιος ἢ προανάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς ἑπτάχρονος ⏑ ⏑ – ⏑ – <οἷον . . . >.

Anon. Ambr. 234. 19 sqq. δόχμιος κατὰ συζυγίαν ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς ⏑ – – ⏑ – ὀκτάχρονος, <οἷον . . . >.

Schol. vet. in Pind. *Pyth.* 10 (p. 20. 22 Tessier) τὸ η´ δίμετρον δοχμαικὸν (δοχμιακὸν *coni. Böckh*) ἀκατάληκτον.

Schol. in Aesch. *sept.* 101e (II 2, p. 63. 15 sqq. Smith) ὁ μέντοι ὀκτάσημος ῥυθμὸς οὗτος πολύς ἐστιν ἐν τραγῳδίᾳ καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς· ἔστι δὲ δοχμιακά. ὅμοιον τό·

πόλεμος αἴρεται πρὸς ἐμὲ καὶ θεοὺς

παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν (v. 1189)· ἀλλὰ καὶ παρ᾽ Εὐριπίδῃ· (*Phoen.* 344)

ἐγὼ δὲ οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις.

Schol. in Aesch. *sept.* 128a (II 2, p. 73. 18 sqq. Smith) σύ τ᾽, ὦ διογε(νές)] ... καὶ ταῦτα δὲ δοχμικά ἐστιν καὶ ἴσα, ἐάν τις αὐτὰ ὀκτασήμως βαίνῃ. κυρίως δὲ εἶπον βαίνῃ· ῥυθμοὶ γάρ εἰσι. βαίνονται δὲ οἱ ῥυθμοί, διαιρεῖται δὲ τὰ μέτρα, οὐχὶ βαίνεται.

Schol. in Aristoph. *Ach.* 284a (p. 48. 14 sqq. Wilson) vet Ἡράκλεις] διπλῆ· εἶτα ἕπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους, ἐκ στίχων δύο τροχαικῶν τετραμέτρων καταληκτικῶν καὶ κώλων η´· ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶ <στίχος> ἐν ἐκθέσει †κατὰ τὸ ἴσον τοῖς χορικοῖς ἃ ποιεῖ δοχμὸν (δοχμίαν *White*) συζυγίαν καὶ παίωνας τρεῖς καὶ διαίρεσιν†. τῷ δὲ δικώλῳ τούτῳ <ἀντιστροφικὸν> τὸ μὲν πρῶτόν ἐστιν· (v. 336)

ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα,

τὸ δὲ τῆς δευτέρας· (v. 342)

οὗτοι ἴσοι χαμαί.

Schol. in Aristoph. *Ach.* 358a (p. 58. 1 sqq. Wilson) vet τί οὖν λέγεις] διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χοροῦ πεντάκωλον δοχμίαν, ὄντων διπλῶν μὲν τῶν δύο πρώτων, ἁπλῶν δὲ τῶν τριῶν τὸ λοιπόν.

Schol. in Aristoph. *Ach.* 490 (p. 70. 2 sqq. Wilson) vet τί δράσεις] διπλῆ καὶ τριὰς μεσῳδική, ἧς αἱ μὲν ἑκατέρωθέν εἰσι δίκωλοι διπλῶν δοχμίων, ἡ δὲ μέση δίστιχος ἰαμβικὴ τρίμετρος ἀκατάληκτος.

Schol. in Aristoph. *Ach.* 566a (p. 78. 13 sqq. Wilson) vet ἰὼ Λάμαχ᾽ ὦ] ὑφ᾽ ὃ διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ὀκτάκωλον, ἧς τὰ μὲν ἄλλα ἐστὶ δόχμια, ἁπλοῦν δὲ τὸ τέταρτον, διπλοῦν δὲ τὸ ἕκτον, τὸ δὲ πέμπτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

Schol. in Aristoph. *Ach.* 1219a (p. 148. 22 Wilson) vet καὶ σκοτοδινιῶ] τῆς δευτέρας συζυγίας δόχμιον † ὧδε.

Schol. in Aristoph. *eq.* 303a (p. 76. 19 sqq. Jones-Wilson) vet ὦ μιαρὲ καὶ βδελυρέ: διπλῆ καὶ εἴσθεσις εἰς περίοδον κώλων θʹ, ἧς τὸ πρῶτον παιωνικὸν δίρρυθμον, τὸ δεύτερον ἐκ κρητικοῦ καὶ δοχμίου, τὰ δὲ λοιπὰ ἑπτὰ παιωνικὰ δίρρυθμα.

Schol. vet. in Aristoph. *nub.* 1164 (p. 215. 9 sq. Holwerda) ὅν κάλεσον τρέχων ἔνδοθεν ὡς ἐμέ] τὸ ιβ´ καὶ ιγ´ δόχμιος συζυγία.

Schol. vet. in Aristoph. *nub.* 1206a (p. 221. 6 sqq. Holwerda) μάκαρ ὦ Στρεψίαδες] διπλῆ καὶ εἴσθεσις εἰς μέλος τοῦ ὑποκριτοῦ ὀκτάκωλον, ὧν [...] τὸ ς´ ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ δοχμίου συζυγίας· συνῆπται δὲ τῇ λέξει καὶ ἑτέραν διαίρεσιν <προαιρετέον *suppl. e. g. Koster*>, τὴν <εἰς *suppl. Koster*> ἰαμβικὸν τρίμετρον ὑπερκατάληκτον καὶ δόχμιον.

Schol. B in Hephaest. 303. 26 sqq. ἔστιν οὖν πρῶτος ἐπίτριτος ὁ ἐκ βραχείας καῖ τριῶν μακρῶν, ὁ καὶ ἵππειος ἢ καρικὸς ἢ δόχμιος.

Cic. *or.* 64. 218 dochmius autem e quinque syllabis, brevi, duabus longis, brevi, longa, ut est hoc: 'amicos tenes', quovis loco aptus est, dum semel ponatur: iteratus aut continuatus numerum apertum et nimis insignem facit.

Qvint. *inst.* IX 4. 79 equidem Ciceronem sequar (nam is eminentissimos Graecorum est secutus), excepto quod pes mihi tris syllabas non videtur excedere, quamquam ille paene dochmioque, quorum prior in quattuor, secundus in quinque excurrit, utatur.

Qvint. *inst.* IX 4. 97 est et dochmius, qui fit ex bacchio et iambo, vel ex iambo et cretico, stabilis in clausulis et severus: spondeus quoque, quo plurimum est Demosthenes usus, non eodem <modo> semper [prae] se habet.

Qvint. *inst.* IX 4. 99 cum spondeus et bacchius: sic enim fiet ultimus dochmius: (Cic. *Lig.* 9) 'in armis fui'.

Diom. GL I 481. 33 sq. dochmios ex duabus brevibus et longa et brevi et longa temporum septem.

Diom. GL I 482. 8 dochmios per synzugian <ex brevi et duabus longis et brevi et longa temporum octo (*add. Busche*)>.

Rvfin. GL VI 566. 7 sqq.

rhetoricas pulchre structuras dochmius ornat:
principium bacchius erit, concludet iambus.

Rvfin. GL VI 566. 17 sqq.

longa brevem sequitur, longam brevis, addite longam,
syllaba prima brevis, tum syllaba longa secunda,
tertia longa, brevis quarta productaque quinta:
Tullius orator (*or.* 64. 218), ceu multi, dochmion ornat.

Rvfin. GL VI 575. 12 sqq. Pompeius Messalinus de numeris et pedibus oratorum sic dicit: «Cicero (*or.* 64. 216) spondeum incisis idoneum putat, quia, ut ait, paucitatem pedum gravitate sua et tarditate compensat; dochmium (*or.* 64. 218) aptum quovis loco esse, dum semel ponatur, quoniam continuatus numerum asperum efficiat».

Rvfin. GL VI 576. 7

principia et medium et finem tibi dochmius ornat.

Rvfin. GL VI 577. 1 sqq. Donatus ... sic dicit: «Cicero (*or.* 63. 212 sqq.) in exornatione sententiae clausulaque ponenda modo ditrochaeum probat pedem, modo paeana primum aptum incipientibus, modo paeana quartum finientibus congruum, modo dochmium ex brevi et duabus longis et brevi et longa, cuius exemplum posuit (*or.* 64. 218) 'amicos tenes'».

Rvfin. GL VI 577. 10 sqq. Cicero (*or.* 64. 218) de numeris et pedibus oratoriis sic: « ... dochmius autem e quinque syllabis, brevi, duabus longis, brevi, longa, hoc est 'amicos tenes' quovis loco aptus est».

Mart. Cap. V 519 (p. 180. 9 sqq. Willis) modo dochmium qui constat ex brevi, duabus longis, brevi et longa, cuius exemplum posuit (*scil.* Cic. *or.* 64. 218): 'amicos tenes'.

Mart. Cap. IX 991 (p. 383. 2 sq. Willis) qui autem dochmii numeri nominantur, propter assiduum et compositum sonum appellari videntur.

Anon. GL VI 308. 26 sqq. his adiciunt multi unum pentasyllabum, quem Cicero dochmium vocat qui constat ex brevi, duabus longis, brevi et longa syllabis, ut est 'senatoriae' et, ut idem Cicero posuit: (*or.* 64. 218) 'amicos tenes'.

*antispasticum penthemimeres idest monometrum hypercatalectum*

**2.** Hephaest. 32. 5 sqq. καὶ ἔστιν ἐπίσημα ἐν αὐτῷ (*scil.* τῷ ἀντισπαστικῷ) τάδε· πενθημιμερές μὲν τὸ καλούμενον δοχμιακόν, οἷον·

κλύειν μαίεται
τὸν ἐγχώριον·

Etym. Magn. 285. 25 sqq. δοχμιακός: εἶδος μέτρου ἀντισπαστικοῦ· ἔστι δὲ μονόμετρον ὑπερκατάληκτον· οἷον·

ἐγὼ δ' οὔτε σοί.

ἔστι δὲ Εὐριπίδου Φοινισσῶν (v. 346). πολλὰ δὲ ῥυθμῶν ὀνόματα καὶ ἄλλα· ἀτὰρ δὴ καὶ ταῦτα, ἴαμβος, δάκτυλος, παίων, ἐπίτριτος. οὗτοι μὲν οὖν ὀρθοί εἰσι ῥυθμοί· ἐν ἰσότητι γὰρ κεῖνται· ἢ γὰρ μονὰς πρὸς δυάδα, ἢ δυὰς πρὸς τριάδα, ἢ τριὰς πρὸς τετράδα· ἡ τριὰς πλεονεκτεῖται μονάδι. ἐν τῷ δοχμιακῷ τριάς ἐστι πρὸς πεντάδα, καὶ δυὰς ἡ πλεονεκτοῦσα. οὗτος οὖν ὁ ῥυθμὸς οὐκ ἠδύνατο καλεῖσθαι ὀρθός· ἐκλήθη τοίνυν δοχμιακὸς, ἐν ᾧ τὸ τῆς ἀνισότητος μεῖζον κατὰ τὴν εὐθεῖαν κρίνεται. καὶ τὸ μέτρον οὖν δοχμιακὸν, ὡς ἐμπιπτόντων ἐν αὐτῷ τῶν ὀκτὼ χρόνων.

Trich. 389. 1 sqq. τοῦτο δὲ (*scil.* τὸ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον) ἐπίσημόν ἐστι πενθημιμερὲς ὀνομαζόμενον, ὅτι τοῦ πέντε τὸ ἥμισυ ἔχει· μετρούμενον γὰρ κατὰ δισυλλαβίαν δύο ἥμισυ δισυλλαβίας εὑρίσκεται ἔχον. τὸ αὐτὸ δὲ καὶ δοχμιακὸν ὀνομάζεται ἢ ἀπὸ ἔθνους οὕτως ὀνομαζομένου ἢ ἀπὸ τοῦ πρώτως αὐτῷ χρησαμένου ἢ παρ' ὅσον, <ὡς> ἔνιοί φασι, πλάγιόν τινα τὸν ῥυθμὸν ἔχει καὶ οὐκ ὀρθότατον.

Tzetz. *de metr. Pind.* 114. 12 sqq.

ἐκ δύο τῶν παιωνικῶν τὸ ἕβδομον ὑπάρχει,
τοῦ πρώτου πρώτου παίωνος, δευτέρου τοῦ δευτέρου,
καὶ δὴ ἐκ πενθημιμεροῦς, ἀλλ' ἀντισπαστικοῦ τε.

τοῦτο τὸ πενθημιμερὲς δοχμιακὸν καλεῖται
ἔκ τινος ἔθους οὕτως δε, ἢ ἐκ τοῦ εὑρηκότος.

Anon. Vat. 22. 15 ⏑ – – ⏑ . ⏓ (Pind. *Ol.* 2. 5)
–σεν ἡρακλέης
μονόμετρον (*scil.* ἀντισπαστικόν) ὑπερκατάληκτον· δοχμιακὸν πενθημιμερές.

Schol. rec. in Pind. *Ol.* 14 (p. 420. 13 sqq. Abel) τὸ ζʹ, ὡς ἐμοὶ δοκεῖ, ἀσυνάρτητόν ἐστιν ἐκ παιωνικοῦ κρητικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἀντισπαστικοῦ διμέτρου βραχυκαταλήκτου, ἢ κατὰ συνίζησιν τῆς τελευταίας πενθημιμεροῦς, ὃ καλεῖται δοχμιακόν, τὸ ἀντισπαστικὸν δηλονότι. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἔστω τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, διιάμβου καὶ παίωνος αʹ διὰ τὴν ἀδιάφορον.

Schol. in Aesch. *sept.* 778-784d (II 2, p. 336. 9 sqq. Smith) τὸ αʹ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ συλλαβῆς, ὃ καλεῖται δοχμαικὸν πενθημιμερές· τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς ἐπίτριτον ἔχει τρίτον ἀντὶ τοῦ ἀντισπάστου.

Schol. in Aesch. *Prom.* 561 (p. 45 Smyth) τὸ κη´ ἀντισπαστικὸν πενθημιμερές, ὃ καλεῖται δοχμαικόν.

Schol. in Soph. *Ai.* 596 τὸ ϛ´ ἀντισπαστικὸν δοχμαικὸν πενθημιμερές.

Schol. in Soph. *Ai.* 621 τὸ ζ´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον δοχμαικόν· εἰ δὲ βούλει, τροχαικὸν πενθημιμερές.

Schol. in Soph. *Ai.* 879 τὸ ε´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ὃ καλεῖται δοχμαικόν.

Schol. in Soph. *Ai.* 900 τὸ δ´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον δοχμαικὸν ἐξ ἐπιτρίτου δ´.

Schol. in Soph. *Ant.* 100 τὸ ϛ´ ἀντισπαστικὸν δοχμαικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου δ´ καὶ συλλαβῆς.

Schol. in Soph. *Ant.* 839 τὸ ιγ´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον, ὃ καλεῖται δοχμαικόν.

Schol. in Soph. *El.* 504 τὸ ζ´ δακτυλικὸν πενθημιμερὲς ἐκ σπονδείων· εἰ δὲ βούλει, ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου γ´ καὶ συλλαβῆς, ὃ καλεῖται δοχμαικόν.

Schol. in Soph. *El.* 1384 τὸ ε´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον δοχμαικόν.

Schol. in Soph. *El.* 1413 τὸ β´ ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον δοχμαικὸν ἐκ διιάμβου· εἰ δὲ βούλει πενθημιμερές.

Schol. in Aristoph. *av.* 941a (p. 147 sq. Holwerda) Tr νομάδεσιν γὰρ Σκύθαις] ἡ ε´ περίοδος κώλων ἀναπαιστικῶν πέντε. ὧν τὸ πρῶτον δίμετρον καταληκτικὸν, τοῦ πρώτου ποδὸς πεντασυλλάβου. τὸ β´ πενθημιμερές, ὃ καλεῖται δοχμαικόν.

Schol. A in Hephaest. 142. 18 sqq. δοχμιακὸν ἢ ἀπὸ ἔθνους ἢ ἀπὸ τοῦ εὑρηκότος.

Schol. A in Hephaest. 142. 20 sqq. ἀντισπαστικὸν πενθημιμερές, ὃ καλεῖται δοχμιακόν, ποδῶν ἁπλῶν δύο καὶ συλλαβῆς·

κλύειν μαίεται.

APTHON. GL VI 88.23sqq. est autem antispasticum monometrum hypercatalectum, quod et dochmiacum dicitur:

volant praepetes. [*A.T.*]